Ἐπιστολὴ φιλολογικὴ

Γ. Σωτηρίου

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΦΑΛΤΑΙΤΣ

828

# ΠΡΟΛΟΓΟΣ.

Μέλλων νὰ ἐκδώσω ταῦτα ἔγραψα πρὸς τὴν Α. Υ. τὸν ἡγεμόνα τῆς Σάμου Κωνσταντῖνον Ἀδοσίδην τὴν ἀκόλουθον αἴτησιν.

*Ὑψηλότατε·*

*Ὃν λόγον τοῦ Λυκούργου ἐξέδωκα ὑπέβαλον πρὸ δύο μηνῶν μετὰ μικρᾶς τινος φιλολογικῆς πραγματείας εἰς τὴν φιλοσοφικὴν σχολὴν τοῦ Πανεπιστημίου ἀντὶ ἐναισίμου διατριβῆς. Ταύτην ἐγκριθεῖσαν προστάττεταί μοι ἤδη κατὰ νόμον διὰ τύπου νὰ ἐκδώσω. Πρὸς τοῦτο παρακαλῶ τὴν Ὑμετέραν Ὑψηλότητα νά μοι ἐπιτρέψῃ ἐν τῷ ἡγεμονικῷ τυπογραφείῳ, ἂν εὐκαιρία ὑπάρχῃ, νὰ τυπώσω ταύτην.*

*Ἐν Λιμένι Βαθέος Σάμου*
*τῇ 7ῃ Φεβρουαρίου 1883.*

*Εὐπειθέστατος*
*Γεώργιος Ν. Σωτηρίου.*

Ὁ ἡγεμὼν προθύμως ἔδωκέ μοι τὴν μικρὰν ταύτην χάριν βουλόμενος καὶ ἄλλα πολὺ μείζω τοιαῦτα νὰ χαρίζηται. Καὶ συνέστησε δωρεὰν νὰ τυπωθῇ χωρίς τι εἰς οὐδὲν νὰ δαπανήσω.

Ἐν Σάμῳ
τῇ 15ῃ Φεβρουαρίου 1883.

Γ. Ν. Σ.

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ... ΤΑΤΤΣ

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΦΑΛΤΑΙΤΣ

Γ. Ν. Σωτηρίου Σάμιος

Ἀλφρέδῳ Ἐμερσῶνι Ἀμερικανῷ χαίρειν.

Ἐκομισάμην τὰ σὰ γράμματα καὶ ἅ μοι Ἑλληνικῶν στίχων, τοῦ Μενάνδρου, ὡς οἴει, εὑρήματα τοῦ Felton ἀγγέλλεις εὖ ἀγγέλλεις· εἴθε τοιαῦτα μὴ παύσαιντο οἱ φιλόλογοι ἀνευρίσκοντες. Μέλλων δ' ἀντεπιστεῖλαί σοι ἐν τῷ μέρει γράψω σοι εἴ τι νέον εὕρηκα ἀπὸ τοῦ Λυκούργου τοῦ ῥήτορος ἀρχόμενος, οὗ οὐ πρὸ πολλοῦ ἔκδοσιν ὑπὲρ τῶν μαθητῶν ἐφιλοπόνησα καί σοι ταύτης μετ' εὐνοίας καὶ ἀντίτυπον ἓν πέμπω. Ἐπέξειμι δὲ τῷ λόγῳ προϊόντι καὶ ἄλλα τινὰ κριτικῆς καὶ ἑρμηνευτικῆς ὡς εἰπεῖν παραχορηγήματα, καλῶς μοι δοκοῦν ἔχειν πρὸς σὲ τολμᾶν τοιαῦτα ἀνακοινοῦσθαι· τοὺς γὰρ σπουδαίους τῶν φιλολόγων φεύγω, ὥσπερ καὶ σὺ ἴσως, αἰσχυνόμενος ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι. Σὲ μὲν οὖν, ὦ φίλε, ἀνθεστιάσω *παρεόντων* καὶ παρρησιάσομαι πρὸς σὲ ἃ ἔχω· οἶδα γὰρ ὅτι δέξει τὸν λόγον ὅμως καὶ οὐ σπουδαῖον ὄντα.

Φέρ' οὖν καταλέξω σοι πρῶτον εἴ τι καὶ μικρὸν ἀνύτειν μέλλον αὐτὸς ἐν τῷ Λυκούργῳ εὕρηκα.

Ἐν § 63 φέρεται «Ἴσως οὖν τῶν συνηγόρων αὐτοῦ τολμήσει τις εἰπεῖν, μικρὸν τὸ πρᾶγμα ποιῶν, ὡς οὐδὲν ἂν παρ' ἕνα ἄνθρωπον ἐγένετο *τούτων*». Καὶ ἄλλως πλημμελὲς τὸ *τούτων* δοκεῖ καὶ ἐξ ὧν παρακατιὼν ὁ Λυκοῦργος λέγει αὐτόθεν προκύπτει ὅτι *τοῦτον* εἴρηκε· λέγει γὰρ «Εἰ μὲν γὰρ ὁμολογοῦσι τὴν πατρίδα αὐτὸν ἐκλιπεῖν, τοῦτο συγχωρήσαντες ὑμᾶς ἐάτωσαν διαγνῶναι περὶ τοῦ μεγέθους· εἰ δ' ὅλως μηδὲν τούτων (τοῦ ἐκλιπεῖν δῆλον ὅτι τὴν πατρίδα) πεποίηκεν, οὐ μανία δήπου τοῦτο λέγειν ὡς οὐδὲν ἂν ἐγένετο *παρὰ τοῦτον*». Εἰ μέν, φησίν, ἐξέλιπε τὴν πατρίδα ὁ Λεωκράτης, μὴ εἴπητε ὡς οὐδὲν ἢ μικρὸν τοῦτό ἐστιν, ἀλλ' οἱ δικασταὶ διαγνώτωσαν, εἰ δὲ μὴ ἐξέλιπεν

ἀλλ' ἔμεινεν, ἵνα τί φατε: οὐδὲν ἂν οὗτος ἤνυτεν, οὐδὲν ἂν ἐγένετο παρὰ τοῦτον, ὡς μέλλετε τάχα ἐρεῖν; μαίνοισθ' ἂν δήπου, εἰ τοῦτο εἴποιτε περὶ τοῦ μὴ τὴν πατρίδα ἐκλιπόντος. Ἐννοοῦσιν ἄρα κατ' αὐτὸν οἱ συνήγοροι εἰπεῖν *οὐδὲν ἂν ἐγένετο παρὰ τοῦτον ἕνα ὄντα* καὶ οὐχὶ *οὐδὲν ἂν τῶν κατηγορημένων ἐγένετο παρ' ἕνα*. Πάλιν δὲ διατεινόμενος ὁ ῥήτωρ προβαίνει λέγων «ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, *τοὐναντίον τούτοις, παρὰ τοῦτον* [ἔνθα τὰ ἀντίγραφα *τούτων*] εἶναι τῇ πόλει τὴν σωτηρίαν». Οὗτοι μέν, φησίν, οὐδὲν ἂν ἡγοῦνται παρὰ τοῦτον γενέσθαι ὡς ἕνα ὄντα, ἐγὼ δὲ ἡγοῦμαι παρὰ τοῦτον εἶναι τὴν σωτηρίαν.

Ὁρᾷς ὅτι μικρὸν τὸ σφάλμα καὶ παρὰ γράμμα ἕν, πάντας ὅμως διαλαθόν· ὥσπερ καὶ ἄλλα τινὰ δείξω σοι ὅτι παρὰ γράμμα ἢ γραφὴν στοιχείου λανθάνουσιν ἔτι καὶ νῦν τοὺς κριτικοὺς παρεισφθαρέντα. Αὐτίκα μέμνησό μοι ὅτι εἰ Γ καὶ μὴ γ ἔγραφον οἱ ἐκδόται τοῦ Ἀθηναίου ἐν Α′ σελίδι 30ῃ πάμπαν σχεδὸν τἀληθὲς ἂν ἔλεγον καὶ τῆς τοῦ Δειπνοσοφιστοῦ διανοίας εἴχοντο. Οἴομαί σε ἀνεγνωκέναι τὴν διόρθωσιν, ἣν ἐν τῷ περιοδικῷ *Ἀθηναίῳ* τῷ ἐξ Ἀθηνῶν κατεχώρισα· εἰ δὲ μή, ὑπογράψω σοι τὸ χωρίον· «Ὅτι Θεμιστοκλῆς ὑπὸ βασιλέως ἔλαβε δωρεὰν τὴν Λάμψακον εἰς οἶνον, Μαγνησίαν δ' εἰς ἄρτον, Μυοῦντα δ' εἰς ὄψον, Περκώτην δὲ καὶ τὴν Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἱματισμόν· ἐκέλευσε δὲ τούτῳ στολὴν φορεῖν βαρβαρικήν, ὡς καὶ Δημαράτῳ, δοὺς τὰ πρότερον ὑπάρχοντα καὶ στολὴν *γάμβριον* προσθείς». Μετατύπωσόν * μοι τὸ γ εἰς Γ καὶ εὐθὺς ἡ πόλις *Γάμβριον* ἀναδύσεται (ὅτι δὲ *Γάμβρειον* ἀεὶ δεῖ γράφειν δέδεικται)· ἐλεήσειε μεντἂν τις τοὺς ὑπ' ἀνάγκης ἐξηγουμένους, ὡς ὁ βασιλεὺς προσθείη στολὴν ἥντινα *οἱ γαμβροὶ αὐτοῦ φοροῖεν*. Φανερὸς δ' ἐστὶν ὁ ἀντιγραφεὺς ὁ τῇ λέξει *γαμβρὸς* τὸ *γάμβριον* πλησιάσας καὶ τὸ *εἰς* πρὸ τοῦ *στολὴν* ἀπαλείψας. Ἀλλ' ἐπὶ τὸν Λυκοῦργον ἐπανέρχομαι.

Οὐκέτι μικρὸν ἀλλὰ μεῖζόν τι πάλαι πειρῶμαι θηρᾶσαι. Καὶ ἐν μὲν τῇ ἐκδόσει οὐδὲν εἴρηκα οὐδ' ὅπως οἱ ἑρμηνευταὶ ἐξηγοῦνται τὸ χωρί-

---

* Ἐν τῷ περιοδικῷ Ἀθηναίῳ τυπογραφικὸν σφάλμα ἐστὶ τὸ Μετάπτωσις ἐπιθέτου εἰς κύριον ὄνομα ἀντὶ τοῦ Μετατύπωσις ἐπιθέτου κτλ.

ον· οὐ γὰρ πείθομαι αὐτοῖς. Τίσι δ' ἐφόδοις χρώμενος ἐπὶ ζήτησιν τἀληθοῦς ἐξῆλθον δείξω σοι, καί μοι πειρῶ συγκυνηγετῆσαι, ἥν πως ἕλωμεν αὐτό. Καλὴ γὰρ ἡ θήρα. Λέγω δὲ τὸ ἐν § 85 « ὀλίγοι ὄντες κατακλεισθέντες ἐπολιορκοῦντο καὶ διεκαρτέρουν εἰς τὴν πατρίδα ». Τὸ τελευταῖον τουτὶ *διεκαρτέρουν εἰς τὴν πατρίδα* προφανῶς ἔσφαλται. Οὐ δέομαι δ' ὑπογράψαι ἐνταῦθα τὰς τῶν ἐξηγητῶν ἑρμηνείας· ὄχλος γάρ ἐστιν, οὐ καὶ σοὶ δοκεῖ; συνάπτει γοῦν τις τὸ *κατακλεισθέντες* πρὸς τὸ *εἰς τὴν πατρίδα*· ἀλλ' ἐῶμεν ταῦτα. Τίνα τὸ *καρτερεῖν*, *διακαρτερεῖν* καὶ τὰ τῆς αὐτῆς ἐννοίας ἐχόμενα οἷον τὸ *ὑπομένειν*, *ἀντέχειν* συζυγίαν ὡς τὰ πολλὰ φιλεῖ; Τῇ ἐλπίδι εἶδον συνεζευγμένον πάλιν δὲ τῷ ἐσχάτῳ ἤ τινι τοιούτῳ· οἷον Περικλῆς ἐν τῷ ἐπιταφίῳ λέγει « καρτερεῖν χρὴ καὶ ἄλλων τέκνων ἐλπίδι », αὖθις δ' Ἡρόδοτος « Βόγης . . ἐπειδὴ ἐπολιορκέετο διεκαρτέρεε ἐς τὸ ἔσχατον » ὥσπερ καὶ *διαμάχεσθαι εἰς τὸ ἔσχατον* ἐν Προτρεπτικῷ Α' σελ. 171, 10 τῷ Λεσβώνακτι εἴρηται « ἐλλιπόντων δὲ ἡμῶν τὴν προθυμίαν καὶ μὴ θελησάντων διαμάχεσθαι εἰς τὸ ἔσχατον » καὶ *ἀντέχειν ἐπὶ ταῖς ἐλπίσι* μέμνημαί που παρὰ Δημοσθένει ἀναγνοὺς καὶ ἄλλα τοιαῦτα. Τὸ *ἐσχάτη* δὲ καὶ τὸ *ἐλπὶς* οὐκ ἀναρμοστεῖ ἀλλήλοις. Ὅρα οὖν τούτοις ἐπιόντες, ἥν πως *διεκαρτέρουν εἰς τὴν ἐσχάτην ἐλπίδα* ἐκ τοῦ *διεκαρτέρουν εἰς τὴν . . . ίδα* ἀνασῦραι οἷοί τε ὦμεν καὶ δείξωμεν τοῖς κυρίοις, εἰ δοκιμάσουσι τὸ θήραμα ὡς καλόν. Δίκην δὲ τοῖς ἀντιγραφεῦσι λάχωμεν, ὅτι *κλέπτουσιν ὑποβαλλόμενοι* τὸ «τὴν πατρίδα», ὑπεραπολογούμενοι ὧδε: *Ἐπολιορκοῦντο καὶ διεκαρτέρουν εἰς τὴν ἐσχάτην ἐλπίδα* ταὐτόν ἐστι τῷ *διεκ. μηδὲν ἐλπίδος ἐνδιδόντες τοῖς πολιορκοῦσιν.* Τοιοῦτόν τι δὲ βούλεται ὁ Λυκοῦργος ἐνταῦθα εἰπεῖν, ὡς καὶ ὁ Θουκυδίδης Η' 89 « ἀπήγγειλαν τὰ παρὰ τοῦ Ἀλκιβιάδου, ὡς κελεύει τε *ἀντέχειν* καὶ *μηδὲν ἐνδιδόναι τοῖς πολεμίοις* » καὶ ἐν Γ' 46 « πολιορκίᾳ τε παρατενεῖσθαι ἐς τοὔσχατον ». Μαρτύρια δὲ τῆς γραφῆς ταύτης τὰ μὲν πόρρωθεν τὰ δ' ἐγγυτέρω ἁπτόμενα ἔστω μοι καὶ τάδε. Πλουτάρχου ἐν Βίῳ Τίτου ΙΧ σελ. 374 « Νῦν δὲ τῶν πολέμων κατὰ καιρὸν ἐμβαλὼν τὴν εἰρήνην ὁ Τίτος καὶ πρὶν ἄρξασθαι τὸν μέλλοντα διακόψας τὸν παρόντα, τοῦ μὲν ( παρόντος ἤτοι τοῦ Φιλιππικοῦ ) *τὴν ἐσχάτην ἐλπίδα,* τοῦ δὲ ( μέλλοντος ἤτοι τοῦ Ἀντιοχικοῦ ) τὴν πρώτην ὑφεῖλεν ». Ἔμελλον ἄρα οἱ περὶ τὸν Φίλιππον διακαρτερῆσαι εἰς τὴν ἐσχάτην ἐλπίδα, ταύτην δ' αὐτῶν τὴν ἐλπίδα ὁ Τίτος ὑφεῖλεν· Πολυβίου Β' 35

« οὔτε γὰρ χορηγιῶν οὔθ' ὅπλων οὔτε ἀνδρῶν πλῆθος καταπλαγεὶς ἄν τις ἀποσταίη *τῆς τελευταίας ἐλπίδος* τοῦ διαγωνίζεσθαι περὶ τῆς σφετέρας χώρας καὶ πατρίδος », ΙΣΤ' 40 « μόνοι ( Τύριοι) τῶν κατὰ Συρίαν ὑπέστησαν καὶ *πάσας ἐξήλεγξαν τὰς ἐλπίδας* ». Διεκαρτέρησαν ἄρα καὶ οὗτοι πολιορκούμενοι εἰς τὴν ἐσχάτην ἐλπίδα. Καὶ ἀλλαχοῦ ὁ Πολύβιος ἐπὶ τῶν τοιούτων λέγει *πάσας ἐξελέγχειν τὰς ἐλπίδας*. Ἓν ἔτι ἔχω σοι παρασχέσθαι τὸ τοῦ Πινδάρου Ἰσθμ. ς' 31

τὺ δέ, Διοδότοιο παῖ . .
εὐανθέ' ἀπέπνευσας ἁλικίαν
προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι
ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν.

Ἢ τοῦτο οὐκ ἔξεστι πεζῇ μεταφράσαι « ἔνθα οἱ ἄριστοι διεμαχέσαντο εἰς ἐσχάτας ἐλπίδας » ;

Εἰ μὴ καὶ τούτοις πείσονται καὶ τόλμαν ὀφλήσομεν, καρτερήσωμεν εἰς τὴν ἐσχάτην ἐλπίδα καὶ τὴν δίκην εἰς Κόβητον ἐφῶμεν, ὅς εἴπερ τις καὶ ἄλλος τοὺς ἀντιγραφέας, ὡς ἴσμεν, ψευδομαρτυρίου αἱρῶν οὐκ ὀκνήσει ἴσως ἡμῖν τὴν ψῆφον προσθέσθαι.

Ἐν § 132 « Ὅθεν καὶ τῶν ποιητῶν τινες εἰρήκασιν

οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον
ἄ λ λ ῃ νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν »

οὐδὲν οἴομαι δεῖν μετακινεῖν· ὁ γὰρ ἡμέτερος σοφὸς Κοραῆς *ἄλλην* ἀντὶ τοῦ *ἄλλῃ* εἴκασε μεταγραπτέον εἶναι· τοῦτο δὲ ὅ τε A. Nicolai καὶ ὁ Rehdantz ἐν τῷ κειμένῳ παρέλαβον. Ὁ Maetzner ἐσημειώσατο τάδε· « Coraes ἄλλην malit, ut sensus sit ἀλλοτρίαν ὄρνιθα οὐκ εἴασε τεκεῖν νεοττοὺς ἐν τῇ ἑαυτῆς νεοττιᾷ. Cui conjecturae favent et praegressa ἅ ἔστιν ἰδεῖν ὑπὲρ τῆς ἑαυτῶν νεοττιᾶς ἐθέλοντα ἀποθνήσκειν, et sequentia τὴν πατρίδα τοῖς πολεμίοις ἐγκατέλιπε. Quamquam vulgatam ferri potest: n i d u m n o n d e s e r u n t». Οὐ πάνυ τι σαφῶς συνῆκαν ὡς ὁ ποιητὴς ὑπολαμβάνει τὴν ὄρνιθα μὴ ἀξιοῦν ἄλλῃ πῃ φεύγειν ἐγκαταλείπουσαν τὴν νεοττιὰν καὶ τάχιστ' ἀποπετομένην, ὁπότε κίνδυνον ὀττεύσαιτο, ἀλλ' ὑπομένειν ( *ἀμύνουσαν οἷσι τέκεσσι* ) καὶ καρτερεῖν εἰς τὸ ἔσχατον θάνατον αἱρουμένην πρὸ τοῦ φεύγειν· διὸ καὶ τὸ *ἄλλην* οὐκ ὀρθῶς προκρίνουσιν.

Μεταμέλει μοι τὸ πάλαι ὀρθῶς τῷ Ταϋλόρῳ ηὑρημένον *νομίμων* ἀντὶ *νόμων* ἐν § 65 « εἶργον τῶν νόμων » καὶ § 93 « τεύξεται τῶν νόμων » καὶ πάλιν αὐτόθι « τὸ τῶν νόμων τυχεῖν » μὴ παραλαβόντι ἀλλὰ πεισθέντι τῷ ἀξιώματι τῶν πλείστων καὶ ὧν πρὸ ὀφθαλμῶν εἶχον ἐκδοτῶν. Ὕστερον δὲ καὶ ὑπ' ἄλλου διδαχθείς, ὑφ' οὗ πλεῖστα ὠφελιμώτατα ἔμαθον, καὶ αὐτὸς παραβαλὼν πρὸς χωρία ἔκ τε τῶν Νόμων τοῦ Πλάτωνος, ἐκ τοῦ Ἀντιφῶντος καὶ ἄλλοθεν τὸ *νομίμων* εὐαρμοστοῦν εἶδον καὶ ἐν τοῖς ἀνωτέρω τρισὶ τόποις. Οἱ δὲ νόμοι ἓν τῶν νομίμων ἐστίν, ὡς δῆλον καὶ ἐξ ὧν αὐτὸς ὁ Λυκοῦργος λέγει § 142 « ἀλλ' ἥκει ἱερῶν, ὁσίων, ἀγορᾶς, νόμων, πολιτείας μεθέξων ». Εἰ μὴ πείθει καὶ σύ, δεύτερον αὖθις μακρότερον ἐρῶ σοι περὶ τούτων· νῦν δέ με φείδεσθαι χρή.

Εἶχον ἄν σοι καὶ ὀλίγα ἄλλα ἐκ τοῦ Λυκούργου προενεγκεῖν, ἀλλ' ἵνα μὴ μακροτέρα αὕτη ἡ ἐπιστολὴ ἀποβῇ, παύομαι τοῦ περὶ τούτων λόγου ὑποδείξας σοι μόνον ὅτι ἐν σελ. 2 ἐν ταῖς σημειώσεσι καταχωρίσας ἐκ τῶν λέξεων Τιμαίου τοῦ Σοφιστοῦ τὸ « κύρβις στήλη τρίγωνος πυραμοειδὴς νόμους ἔχουσα *περὶ θεῶν* » *περὶ θυσιῶν* μετέβαλον, ὀρθῶς, ὡς ἔστιν ἰδεῖν παραβαλόντι τὰ ἐκ τοῦ 30οῦ λόγου τοῦ Λυσίου πρὸς τοῦτο συντείνοντα.

Ἤδη δὲ καὶ ἕτερα ἐξ ἄλλων μικρὰ καὶ φαῦλα ἔρχομαι ἐπισκεψόμενος καὶ πρὸς σὲ ἀνακοινωσόμενος. Οὐχ ἅπαξ δοκῶ μοι ᾑρηκέναι τοὺς ἐκδότας ἑνός, ὥσπερ καὶ ἀνωτέρω εἶπον, ἢ ὀλίγων γραμμάτων ἕνεκα τῶν καταληκτικῶν μάλιστα ἀποπλανηθέντας τοῦ ἀληθοῦς. Οὐ μετὰ πολλοῦ πόνου ἐθήρασά τινα τοιαῦτα οὐδ' ἐκ πυκνῶν δρυμῶν ἐκβιασάμενος εἷλον, ἀλλ' ὥσπερ ὀρνίθια ἐπὶ κλάδου καθήμενα ὑπὸ ἐμπείρων ἰχνευτῶν καὶ κυνηγετῶν καταφρονηθέντα καὶ παροφθέντα. Ἔστω τοίνυν ὥσπερ ἡμέτερον γέρας τοῦτο καὶ ταῦτα νώ γε συνθηρώμεθα, ἐπὶ δὲ τὰ μείζω εἰ βουλοίμεθα τραπέσθαι, δέοι ἂν πρότερον κύνας τήν τε παλαιογραφίαν καὶ ἄλλας εὔρινας Λακωνικὰς θρέψαι τε καὶ οἰκειώσασθαι, μάλιστα δὲ φύλακα οἰκουρὸν καὶ πιστὴν τὴν μετὰ νοῦ ἀνάγνω-

σιν τῶν Ἑλλήνων ποιητῶν καὶ συγγραφέων ἔχειν, ἵν' ἡμῖν τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπερύκῃ.

Δείκνυμί σοι οὖν τὸ πρῶτον. Ἐν τῷ προοιμίῳ τοῦ Θουκυδίδου κεφ. 2ῳ « καὶ παράδειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι διὰ τὰς κτέ »· προσδοκᾷς ἴσως τὰς ἀπορίας λῦσαι καὶ διασαφῆσαί σοι τὸ χωρίον ὅλον· οὐχ ἱκανός εἰμι ταῦτα, ὡς ἔφθην εἰπών, ἀλλὰ μικρὸν πάλαι ἴσως ὑποικουροῦν σφαλμάτιον καὶ νῦν ἔτι λανθάνον δοκῶ μοι εὑρηκέναι. Ἵνα τί γὰρ τὸ *τόδε* προσέθηκεν ὁ Θουκυδίδης οὐδὲν δεόμενος; ἀπέχρη γὰρ αὐτῷ γε εἰπεῖν « καὶ *παράδειγμα* τοῦ λόγου οὐκ ἐλάχιστον . . ἐκ *γὰρ* κτέ », ὥσπερ ἔθος τοῖς Ἕλλησι τὰ τοιαῦτα συντάττειν, εἰ δὲ καὶ δεύτερόν τι παράδειγμα, τεκμήριον, μαρτύριον ἢ ὅ τι τοιοῦτον προστιθοῖντο *καὶ τόδε* ἢ *καὶ τοῦτο* εἰκότως ἔλεγον ἄν· οἷον « *Δηλοῖ* δέ μοι *καὶ τόδε* τῶν παλαιῶν ἀσθένειαν οὐχ ἥκιστα· πρὸ *γὰρ* κέξ. » καὶ Ξεν. Ἀναβ. «*τεκμήριον* δὲ τούτου *καὶ τόδε*». Ἐν τῷ τοῦ Λυκούργου § 129 « Μέγιστον δὲ τῶν ἐκεῖ γεγενημένων τεκμήριόν ἐστιν, ὃ μέλλω λέγειν »· πάλαι μὲν ὑπώπτευκα ὡς παραφθέγγεταί τις τὸ *ὃ μέλλω λέγειν*, νῦν δὲ πρώτῳ σοι τὴν ὑποψίαν δηλῶ καὶ ὅπως μὴ ἐξερεῖς· ἴσως γὰρ ἂν ἀδίκως ὑποπτεύοιμι· ἀλλὰ ταῦτα εἰσαῦθις. Τὸ δ' οὖν Θουκυδίδειον ΤΟΔΕ οὐ *τόδε* ἀλλὰ *τοῦδε* ἐστί· *καὶ παράδειγμα τοῦδε τοῦ λόγου* εἴρηκε περιφανῶς ὁ συγγραφεύς. Νέος γὰρ καὶ αὐτοῦ πρώτου ὅδε ὁ λόγος φαίνεται ὤν, ὅτι ἀσθενέστερον ὑπὸ μεταναστάσεων μάλιστα τὸ Ἑλληνικὸν ἐν τοῖς παλαιοῖς χρόνοις εἴη ( καὶ οὐ μέγα τι κοινῇ κατεργάσαιντο οἱ Ἕλληνες τὸ πάλαι, μετὰ δὲ τὴν ἐκ τῆς Ἑλλάδος τῶν τυράννων κατάλυσιν καὶ τὴν ἐν Μαραθῶνι μάχην τὰ τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων δυνάμει μέγιστα διαφανείη καὶ ὁ πόλεμος ἔργον μεῖζον τῶν προτέρων γεγενημένον εἴη ). Ἴσμεν γε τὸν Θουκυδίδην τοῦτο μάλιστα βουλόμενον ἐν τῷ προοιμίῳ δηλῶσαι καὶ δικαίως ἐξῆν αὐτῷ μετ' ἐμφάσεως « *τοῦδε* τοῦ *λόγου* » εἰπεῖν, οὐδὲν ἐναντίως ἔχον τῇ βραχυλογίᾳ ᾗπερ ἀεὶ χρῆται. Δοκῶ μοι πείθειν σε ταῦτα λέγων καὶ μηδὲν δεῖν μοι μαρτύρων· ὅμως δ' ἐκ περιουσίας παρέξομαι τάσδε τὰς μαρτυρίας δύναμιν ἐχούσας πρὸς τὸ πεῖσαι· καί μοι ἀνάγνωθι· Πλάτ. Μενεξ. 237, Α «μέγα δὲ *τεκμήριον τούτῳ τῷ λόγῳ* ὅτι ἥδε ἔτεκεν ἡ γῆ . . πᾶν γὰρ κτλ. » ( Ἐν Συμποσίῳ σελ. 195 εἰπόντι τῷ Πλάτωνι « μέγα δὲ τεκμήριον τῷ λόγῳ αὐτὸς παρέχεται » ἐξῆν δήπου, εἰ αὐτῷ ἐδόκει, καὶ *τούτῳ τῷ λόγῳ* ὁμοίως εἰπεῖν ). Συμπ. 179, Β. « Καὶ μὴν ὑπεραποθνήσκειν γε μόνον

ἐθέλουσιν οἱ ἐρῶντες οὐ μόνον ὅτι ἄνδρες ἀλλὰ καὶ αἱ γυναῖκες. Τούτου δὲ καὶ ἡ Πελίου θυγάτηρ Ἄλκηστις ἱκανὴν μαρτυρίαν παρέχεται ὑπὲρ τοῦδε τοῦ λόγου εἰς τοὺς Ἕλληνας ». Καὶ τὸ τοῦ Διονυσίου τοῦ Ἁλικαρνασέως ἐν τῷ περὶ Συνθέσεως ὀνομάτων ( κεφ. XVI ) οὐ πάνυ τι ἄπο σκοποῦ βάλλει· « χρήσομαι δ' ὀλίγοις δείγμασι τοῦ λόγου τοῦδε τῆς σαφηνείας ἕνεκα ». Εἰ τούτοις μοι πιστεύσεις, τάχ' ἂν καὶ σὺ πάθοις ὅπερ αὐτὸς ἔπαθον· πρῶτον μὲν γὰρ τὸ *τόδε* οὐκ ἐμμελῶς ἐδόκει μοι προσκεῖσθαι, εἶτα δ' αὖθις ἀνασκοποῦντί μοι τὸ χωρίον ὅλον ἐδόκει οὐκ ἂν ἄπο τρόπου τὴν μετὰ τὸ *ἀεὶ* τελείαν στιγμὴν ( . ) ἀπαλεῖψαι ἢ εἰς κόμμα μεταγράψαι, τῆς δὲ προτάσεως « καὶ παράδειγμα . . . ἐλάχιστόν ἐστιν » ὑποκείμενον παραλαβεῖν οὐ τὸ « ἐκ γὰρ τῆς ἄλλης κτέ », ἀλλ' ἐκ τοῦ *τὴν Ἀττικὴν* τὸ *ἡ Ἀττικὴ* ἐξυπακοῦσαι. Ἐπισκοπούντων οἱ φιλόλογοι καὶ οὐκ ἂν ἴσως τοῦδε τοῦ λόγου καταφρονήσειαν.

Δεύτερον μικρᾶς ἐπανορθώσεως δεόμενον τὸ τοῦ Πλάτωνος ἐν Γοργίᾳ σελ. 525, Β « Προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι ὑπ' ἄλλου ὀρθῶς τιμωρουμένῳ ἢ βελτίονι γίγνεσθαι κτέ ». Παράβαλέ μοι τὰ ἐν τῷ αὐτῷ διαλόγῳ σελ. 476, Ε « ὁ δὲ *ὀρθῶς κολάζων* δικαίως κολάζει ; - Ναί.—Δίκαια ποιῶν ἢ οὔ;—Δίκαια » καὶ σελ. 478, Α « Ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν *οἱ ὀρθῶς κολάζοντες;* » καὶ ἀναμνησθεὶς ὅτι τὸ μέσον *τιμωρεῖσθαι* δύναμιν ὡς τὰ πολλὰ παραπλησίαν ἔχει τῷ *κολάζειν* μετατρέψεις εὐθύς, οἶμαι, ἢ τὸ *ὑπ' ἄλλου* εἰς τὸ *ὑπ' ἄλλῳ* ἢ μᾶλλον τὸ *τιμωρουμένῳ* εἰς τὸ *τιμωρουμένου*.

Ταῦτα μεταξὺ γράφοντι ἐπῆλθέ μοι παρέκβασιν ποιήσασθαι καὶ δηλῶσαί σοι τὸ ἔτυμον τοῦ *τιμωρός*. Ὃ γὰρ καὶ Κούρτιος ὁ ἐτυμολόγος φησὶν ἐκ τοῦ *τιμὴ* καὶ *ὥρα* οὐκ ἀληθές ἐστιν. Καταχωρίζων τὴν λέξιν καὶ ἐν τῷ λεξιλογίῳ τῆς ἐκδόσεως τοῦ Λυκούργου καὶ τὸ Ὁμηρικὸν « τιμὴν ἀρνύμενοι Μενελάῳ κτέ » περιφέρων ἐν τῇ μνήμῃ, παραχρῆμα κατενόησα ὅτι ἐκ τῆς παραθέσεως τοῦ *τιμὴν ἀρνύμενος*, *τιμὴν αἰρόμενος* ( ὥς που καὶ Δημοσθένης λέγει ) τὸ *τιμάορος τιμωρὸς* παρήχθη· ὥσπερ παρὰ τὸ « φρυκτοὺς ἤροντο » ( ἔφη Θουκυδίδης ) φρυκτωρία, φρυκτωρὸς ἐγένετο. Τὸ δὲ *τιμάορος* Πίνδαρος καὶ οἱ τραγικοὶ εἰρήκασιν· οἷον Αἰσχύλος ἐν Ἀγαμ. 1547 ( 1578 )

Αἴγισθος. Ὦ φέγγος εὖφρον ἡμέρας δικηφόρου
Φαίην ἂν ἤδη νῦν βροτῶν τ ι μ α ό ρ ο υ ς
θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη.

Χάριν ἡμῖν τινα εἴσονται οἱ ἐτυμολογοῦντες καὶ οὐκέτι ἐν τῷ *ὀλίγωρος, θυρωρὸς, πυλωρὸς* καὶ τοῖς τοιούτοις τὸ *τιμωρὸς* ἐξετασθήσεται. Ἀλλ' εἰς τὴν θήραν τῶν μικρῶν ἐπανέρχομαι.

Ἐν Λάχητι σελ. 181, Β λέγει ὁ Λυσίμαχος τῷ Σωκράτει « εὖ οὖν ἴσθι, ὅτι ἐγὼ ταῦτα ἀκούων χαίρω ὅτι εὐδοκιμεῖς· καὶ σὺ δὲ ἡγοῦ με ἐν τοῖς γ' εὐνουστάτοις σοι εἶναι ». Τὸ Ἀττικὸν ἐκεῖνο οἴομαι τὸν Πλάτωνα εἰρηκέναι *ἐν τοῖς γ' εὐνουστατόν σοι εἶναι* ἢ καὶ ἄνευ τοῦ *γέ*, ὅς γε καὶ ἐξ ἀντιγράφων λείπει. Γνώριμα τὰ παραδείγματά ἐστιν, ὧν ἀρέσκει μοι ἓν ὑπογράψαι σοι « Οὕτω πολλαχόθεν ὁμολογεῖται ὁ Ἔρως ἐν τοῖς πρεσβύτατος εἶναι » ( Πλάτ. Συμπ. 178 ).

Τὸν Λάχητα δ' ἐν χερσὶν ἔχων οὐ παρὰ καιρὸν ἡγοῦμαι χωρίον τι αὐτοῦ ἐξετάσαι, ὃ οὐ συνῆκαν οἱ ἐξηγηταὶ καὶ σπαράττουσιν αὐτό· σελ. 187, Ε «Νικ. Οὔ μοι δοκεῖς εἰδέναι ὅτι ὃς ἂν ἐγγύτατα Σωκράτους ᾖ λόγῳ ὥσπερ γένει καὶ πλησιάζῃ διαλεγόμενος ἀνάγκη αὐτῷ . . μὴ παύεσθαι ὑπὸ τούτου περιαγόμενον τῷ λόγῳ πρὶν ἂν ἐμπέσῃ εἰς τὸ διδόναι περὶ αὑτοῦ λόγον ὅντινα τρόπον νῦν τε ζῇ κτέ ».

Μακρότατον σχόλιον τούτοις ὑπογράφει ὁ Σταλβαύμιος ἀρχόμενος ἀπὸ τούτων « Locus propter istud ὥσπερ γένει multum vexatus. » καὶ τῶν ἄλλων μὲν ἐξελέγχων τὰς διορθώσεις, ἄλλην δ' αὐτὸς ὑποτιθέμενος. Οὐδὲν οἶμαι δεῖν μετακινεῖν ἀλλὰ τὰ ὑπάρχοντα συνιέναι καὶ ἑρμηνεύειν· νοῦν γὰρ ἔχει. Τίνα φής ; Ἐγώ σοι διὰ παραδειγμάτων ἐνδείξομαι μακροτέρῳ λόγῳ χρώμενος. Φέρε γὰρ εἰπέ μοι ὁ ἐγγὺς Περικλέους ὢν γένει οὐκ ἂν ἀπομάττοιτο εἰ μὴ πολύ τι, ἀλλ' ὀλίγον γε τοῦ χαρακτῆρος καὶ τοῦ ἤθους ἐκείνου καὶ προσφερὴς δοκοίη εἶναι ; ὁ δ' ἐγγύτατα Περικλέους ὢν γένει, οἷον ἀδελφὸς ἢ υἱός, οὗτος μάλιστ' ἂν πάντων περικλεΐζοι, καὶ ἡ *κουριδίη ἄλοχος* τοῦ Περικλέους ἡ μάλιστ' αὐτῷ πλησιάζουσα μάλιστ' ἂν τὴν μεγαλοπρέπειαν ἐκείνου φυλάττοι· οὐ γάρ ; Ὡς δ' αὔτως, ὃς ἂν ἐγγὺς Σωκράτους ᾖ λόγῳ, ἑαυτὸν δήπου σκοποῖ ἂν καὶ τῇ σωκρατικῇ διαλέξει ἐπὶ τοῦτ' ἂν κινοῖτο,

ὃς δ' ἂν ἐγγύτατα Σωκράτους ᾖ λόγῳ καὶ πλησιάζῃ διαλεγόμενος (ἤτοι ὃς ἂν φιλοσοφῇ, εἴπερ τὸ διαλέγεσθαι κατὰ Πλάτωνα φιλοσοφεῖν ἐστιν), οὗτος μάλιστα περὶ ἑαυτοῦ λόγον ἂν διδοίη καὶ οὐ μόνον τὰ ὦτα ἀλλὰ καὶ τὴν ψυχὴν ταῖς τοῦ Σωκράτους Σειρῆσιν ὑπέχοι, ὥσπερ αὖ ἐκεῖνος ὁ τοῦ Περικλέους ἀναγκάζοιτο μιμεῖσθαι ἢ ἐπαινεῖν καὶ ἀσπάζεσθαι τὰ τοῦ Περικλέους. Εἰ δὲ μήπω συνίης, ἐρήσομαί σε ὧδε. Τίνα μάλιστα πάντων ἡγεῖ περικλείζειν ἂν καὶ τὸ τοῦ περικλείου γένους ἦθος φυλάττειν. Τὸν υἱὸν τοῦ Περικλέους ἢ τὸν ἀδελφόν, φήσεις, ἢ τὴν γυναῖκα. Τίνα δὲ μάλιστα περὶ ἑαυτοῦ διδόναι λόγον; Ὃς ἂν μάλιστα πλησιάζῃ τῷ Σωκράτει διαλεγόμενος, ἀποκρινεῖ· εἰ δὲ μὴ σύ γε, ἀλλ' ὁ Ἀλκιβιάδης ὁμολογήσειεν ἂν τοῦτο φάσκων (Συμπ. 216, Α) « Εἰ ἐθέλοιμι παρέχειν τὰ ὦτα, οὐκ ἂν καρτερήσαιμι . . ἀναγκάζει γάρ με ὁμολογεῖν ὅτι πολλοῦ ἐνδεὴς ὢν αὐτὸς ἔτι ἐμαυτοῦ μὲν ἀμελῶ . . βίᾳ οὖν ὥσπερ ἀπὸ τῶν Σειρήνων ἐπισχόμενος τὰ ὦτα οἴχομαι φεύγων, ἵνα μὴ αὐτοῦ καθήμενος παρὰ τούτῳ καταγηράσω . πέπονθα δὲ πρὸς τοῦτον μόνον ἀνθρώπων . . τὸ αἰσχύνεσθαι ὀντινοῦν· ἐγὼ δὲ τοῦτον μόνον αἰσχύνομαι ». Οὐ βούλομαι, φαίη ἂν δι' εἰκόνος ὁ Ἀλκιβιάδης, ἀδελφὸς ἢ υἱὸς Σωκράτους ἐν τοῖς λόγοις εἶναι, ἀλλὰ πόρρω γένους ἐν τοῖς λόγοις εἶναι. Ὅσον γὰρ ἂν ἐγγυτέρω Σωκράτους λόγῳ ὥσπερ γένει ὦ καί μοι ὁ λόγος αὐτοῦ ἐνδύηται ἐν τῇ ψυχῇ, ὥσπερ τὸ τοῦ γένους αἷμα ἐν τῷ σώματι, τοσοῦτον μᾶλλον αὐτὸν αἰσχύνομαι καὶ ἐμαυτὸν ἐξετάζω. Μανθάνεις ὡς οὐκ ἔδει τοσοῦτον θόρυβον ἐγείρειν τοὺς ἑρμηνευτὰς καὶ διορθοῦν δῆθεν τὸν μὲν *ἴῃ λόγῳ ὥσπερ γυναικί*, ἄλλον δὲ ἄλλως, τὸν δὲ Σταλβαύμιον *ὥσπερ ἕρκει*, λέγοντα πρῶτον ὡς συγχυθεισῶν τῶν ἐγγὺς συλλαβῶν *περ ερ* τὸ *γένει* ἀναφανείη, ἔπειτα δὲ τὸ *ἐμπεσεῖν* καὶ τὸ *περιαγόμενον* προσαρμόζοντα τῷ *ἕρκει*; Ἐχρῆν δὲ μᾶλλον τὸ *ἐγγύτατα* τῷ *γένει* προσαρμόζειν (Πρβ. Δημ. περὶ τοῦ Στεφάνου 288 « *γένει* μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν ἐμοῦ, κοινῇ δὲ πᾶσιν οὐδεὶς *ἐγγυτέρω* » καὶ πάμπολλα ἄλλα παραδείγματα μάλιστα ἐκ τοῦ πρὸς Μακάρτατον λόγου). Εἰ δὲ μακρὰ εἶπον, ἄξιον ἐμοί, ὦ φίλε, συγγνώμην ἔχειν· λέγοντος γάρ μου βραχέα οὐκ ἂν ἐμάνθανες, ὅς γε τοῖς σοφοῖς διδασκάλοις χρῇ καὶ τούτοις καλῶς ποιῶν πιστεύεις. Τούτοις οὖν ὅπως ἀντιλέξω μακροτέρου μοι τοῦ λόγου ἔδει.

Καὶ ἕτερον ἐπίσημον τοῦ Πλάτωνος χωρίον ( Ἀπολογ. 19, C ) παρερμηνεύουσιν, ὡς ἔμοι γε δοκεῖ. Σκόπει εἴ τι ἐρῶ ἐπεξιὼν καὶ τόδε καθάπερ νυνδὴ τὸ τοῦ Λάχητος. Χρῶμαι δὲ τῇ τοῦ αὐτοῦ φιλολόγου ἐκδόσει, καὶ εἰ μέν τις ἄλλος ἄλλως ἑρμηνεύει οὐκ οἶδα, ὁ δ' οὖν Σταλβαύμιος τὸ « καὶ οὐχ ὡς ἀτιμάζων λέγω τὴν τοιαύτην ἐπιστήμην, εἴ τις περὶ τῶν τοιούτων σοφός ἐστι· μήπως ἐγὼ ὑπὸ Μελήτου τοσαύτας δίκας φύγοιμι ! » ἐξηγεῖται ὧδε « neque ego contemno et rejicio illam scientiam: atque utinam Meletus me nullo modo tantae injuriae possit reum agere ! » « Μὴ γένοιτο, ὑπολαμβάνει ὁ Stallbaum, τούτου τηλικούτου ἀδικήματος, ὅτι ἀτιμάζω τὴν τοιαύτην ἐπιστήμην ἔνοχον φανῆναι ἐμέ ». Καὶ ὅτι μὲν ἔστιξεν οὕτως ( ! ) ὥστε εὐκτικὸν καὶ μὴ τελικὸν εἶναι ὀρθῶς ἔστιξε, τῆς δὲ διανοίας τοῦ λέγοντος, οὐκ ὀρθῶς, οἶμαι, ἐστοχάσατο· λέγει γὰρ ὁ Σωκράτης τοιάδε· « Μὴ γένοιτο, φησίν, μηδ' ᾡτινιοῦν τρόπῳ τοσαύτας δίκας με φυγεῖν ὑπὸ σοῦ, ὦ Μέλητε, καὶ τοσοῦτον κίνδυνον κινδυνεῦσαι ( ὃν γὰρ νυνὶ κινδυνεύω οὐ μέγας τίς ἐστιν· ἀρετὴν γὰρ οὐ φόβος μὴ ὑπὸ σοῦ ἀπολέσω, ὃν ἐγὼ μέγιστον πάντων κινδύνων ἡγοῦμαι, τόνδε δὲ τὸν περὶ τοῦ σώματος οὐδαμῶς )· μή μοι γένοιτο οὖν τηλικοῦτον κίνδυνον φυγεῖν, ὥστε ἕτερα μὲν γιγνώσκειν ἕτερα δὲ παρὰ γνώμην διισχυρίζεσθαι, βλασφημεῖν τε καὶ διασύρειν τὰ ἄλλως ὀρθῶς μοι δοκοῦντα ἔχειν. Οὐ μὲν οὖν ἀτιμάζω καὶ χλευάζω τὴν κωμικὴν τέχνην ὡς μηδέποτ' ἂν ἀξιόχρεων γενομένην, ἀλλὰ τὰ ἐμοὶ ὡς ἀληθῶς δοκοῦντα εἶπον, ὅτι φλυαροίη τότε περὶ ἐμοῦ ». Συγγνωστὸν δ' ἦν δήπου τοῖς ἐν δικαστηρίῳ κινδυνεύουσιν, ὥσπερ καὶ νῦν, καὶ *ἐσθλοῖς περ* ἀνδράσιν οὖσι παρὰ τὴν ἑαυτῶν γνώμην λέγειν καὶ εἰς σκώμματα ἐμπίπτειν καὶ τοὺς κατ' αὐτῶν μαρτυροῦντας μάλιστα διαβάλλειν. Παράβαλε ἃ ὁ Λάχης περὶ τοῦ Νικίου λέγει (Πλ. Λ. 196 ) « Καίτοι κἂν ἡμεῖς οἷοί τε ἦμεν ἄρτι ἐγώ τε καὶ σὺ ( ὦ Σώκρατες ) τοιαῦτα στρέφεσθαι, εἰ ἐβουλόμεθα μὴ δοκεῖν ἐναντία ἡμῖν αὐτοῖς λέγειν. *Εἰ μὲν οὖν ἐν δικαστηρίῳ ἡμῖν οἱ λόγοι ἦσαν, εἶχεν ἄν τινα λόγον ταῦτα ποιεῖν*· νῦν δὲ κτέ ». Καὶ ὁ Σωκράτης τοίνυν εἰ ἐκινδύνευεν, εἶχεν ἄν τινα λόγον ἀτιμάζειν παρὰ γνώμην τοὺς σοφοὺς κωμῳδιοποιούς, νυνὶ δὲ καθ' ἑαυτὸν οὐ κατὰ τοὺς ἄλλους σκοπῶν οὐ κινδυνεύει καὶ ὃ λέγει γνώμῃ δὴ λέγει. Ὅτι δὲ καὶ οὕτως ἡ σωκρατικὴ εἰρωνεία χαριεστέρα ἐκφαίνεται, φανερόν ἐστι· τὸν δ' ἕτερον τρόπον ἐπαχθέστερον δοκεῖ ὁ Σωκράτης εἰρωνεύεσθαι.

Νῦν δὴ αἰσθάνομαι, ὦ βέλτιστε, ὅτι πολυλογίας δίκην φεύγω· ἀλλὰ γὰρ τί ἂν καὶ πάθοιμι, ὁπότε ἡ διδασκαλικὴ τέχνη, ἣν πάνυ πρεσβεύω, ἐστὶ τῶν λόγῳ τὰ πάντα κυρουμένων, τοῖς δὲ λόγοις αὐτῆς ἐγγυμνασάμενος μεταφέρω καὶ ἄκων πολλοὺς τούτους ἀπὸ τῆς ἕδρας ἐνθάδε; Ταῦτά μοι συγγίγνωσκε· τὴν δὲ τῆς παρερμηνείας δίκην μή πως φύγοιμι, εἰ δὲ μὴ ἁλοὺς ἀντιτιμήσομαι τῆς ὀρθῆς πάλιν διδασκαλίας.—Τοῦ Θουκυδίδου ἓν καὶ δεύτερον εἰς ἄλλοτε, ἣν θεὸς θέλῃ, ἐπὶ σχολῆς συνεπισκεψόμεθα· δεινὸς γὰρ ὁ ἀνὴρ καὶ οὐκ ἐνδέχεται, ὅταν τύχῃ, ἐκ παρέργου μελετᾶσθαι, καὶ ἴσως βέλτιον, ἢ ὡς νῦν, ἑρμηνεύσομεν. Νῦν δὲ δηλώσας σοί τινα μικρᾶς καὶ ταῦτα μεταβολῆς δεόμενα πέρας τῆσδε τῆς ἐπιστολῆς σχήσω.

Ἐν τῷ Λάχητι σελ. 192, Ε «οἷον εἴ τις καρτερεῖ ἀναλίσκων ἀργύριον φρονίμως, τοῦτον ἀνδρεῖον καλοῖς ἄν;» θαυμάζω ὅτι οὐ μεταγεγράφασιν εἰς εὐκτικὴν *εἴ τις καρτεροῖ,* ὡς μικρὸν παρακατιόντι τῷ Πλάτωνι εἴρηται «Ἀλλ' οἷον εἴ τις ἰατρὸς ὢν μὴ κάμπτοιτο, ἀλλὰ καρτεροῖ», ὅπου ἡ πρώτη εὐκτικὴ παρισταμένη ἐφρούρησε τὴν δευτέραν. Μόνον δ' εὐκτική, οἶμαι, ἐγχωρεῖ ἐν τοῖς τοιούτοις· εἶδον δὲ τοιαῦτα καὶ ἄλλα εἰς ὁριστικὴν ὑπὸ τῶν ἀντιγραφέων παραφθαρέντα καὶ μήπω διορθωθέντα, ὡς οὐκ ἔδει. Πραγματείαν δέ τινα περὶ τῶν ὑποθετικῶν λεγομένων λόγων μέλλων γράψαι, πείσω σε ἴσως ὅτι καὶ ἐν Συμποσίῳ σελ. 208, C «εἰ ἐθέλεις εἰς τὴν φιλοτιμίαν βλέψαι, θαυμάζοις ἂν κτὲ» καὶ σελ. 221, Ε «εἰ γὰρ ἐθέλει τις τῶν Σωκράτους ἀκούειν λόγων, φανεῖεν ἂν γελοῖοι τὸ πρῶτον» *ἐθέλοις, ἐθέλοι* δεῖ γράφειν. Εἰ γάρ τις δῆλος εἴη ἐθέλων τὸ καὶ τὸ ποιῆσαι, πρὸς τοῦτον εἴποιμεν ἂν ὀρθῶς *εἰ ἐθέλεις*· τὸ δὲ *εἰ ἐθέλοις* ταὐτόν ἐστι τῷ *φέρ' εἰπω εἰ ἐθέλοις, ἔστω ὅτι ἐθέλεις*. Καὶ ἐν τῷ Λυκούργῳ § 77 τὸ *θέλοι* προειλόμην οὐ κατὰ τοὺς νεωτέρους ἐκδότας. Καὶ ἐν Νόμοις δὲ τοῦ Πλάτωνος 634, D «Εἰ μὲν τοίνυν ὀρθῶς ἢ μή τις ἐπιτιμᾷ τῇ τε Λακωνικῇ καὶ τῇ Κρητικῇ πολιτείᾳ, ὁ λόγος ἂν ἕτερος εἴη» ἴσως *ἐπιτιμῷ* γραπτέον, εἴ τις τῶν κριτικῶν (τὸ τῶν παιζόντων) προτιμῷ. Πάνυ δὲ θαυμάζω (ἐπειδὴ περὶ τῶν ὑποθετικῶν ὁ λόγος) ὅτι ὁ Ἑρμανὸς ἐν Νόμ. 661, C ἐξέδωκεν *ἂν ἐπιζῴη,* εἰ μή τι τῶν τυπογράφων σφάλμα ἐστί, τὸν ὑποθετικὸν λεγόμενον *ἂν* εὐκτικῇ συντάττων. Σκόπει δὲ καὶ σύ, οὐχ ὑπόθεσίς ἐστιν ἐπὶ τελευτῆς τοῦδε τοῦ χωρίου;

« Καὶ δὴ καὶ τὸ ὁρᾶν καὶ τὸ ἀκούειν καὶ αἰσθάνεσθαι καὶ τὸ παράπαν ζῆν μέγιστον μὲν κακὸν τὸν ξύμπαντα χρόνον ἀθάνατον ὄντα καὶ κεκτημένον πάντα τὰ λεγόμενα ἀγαθὰ πλὴν δικαιοσύνης τε καὶ ἀρετῆς ἁπάσης, ἔλαττον δέ, ἂν ὡς ὀλίγιστον ὁ τοιοῦτος χρόνον ἐπιζῴη». Καὶ ὁ ἄκρᾳ γλώττῃ Ἑλληνικῶν γραμμάτων γευσάμενος *ἂν ἐπιζῇ* παραχρῆμα διορθώσει καὶ καλῶς ποιήσει.

Εἰ μή τις φθὰς διώρθωκε τὸ παρὰ Διογένει τῷ Λαερτίῳ Ζ', 50 « ὁ δὲ βαρβαρισμὸς ἐκ τῶν κακιῶν λέξις ἐστὶ παρὰ τὸ ἔθος τῶν *εὐδαιμονούντων* Ἑλλήνων », ἡμεῖς τὰ εὕρετρα τοῦ *εὐδοκιμούντων* ληψόμεθα. Καὶ νῦν γὰρ εὐδαιμονοῦσιν Ἕλληνές τινες, ὡς εἴθε πάντες — τὸ δ' ἕτερον οὐ λέγω. Εἴθε τὸ εὔδοκιμον ἐπὶ πλεῖστον ἀεὶ ἐν τοῖς Ἕλλησιν ὑπάρχοι ὥσπερ παρὰ πᾶσι τοῖς ἀγαθοῖς ἀνδράσιν.

Παρὰ τῷ Ἀθηναίῳ σελ. 558, e, ἔνθα στίχοι τοῦ Ἀλέξιδος παρατίθενται

ὦ δυστυχεῖς ἡμεῖς ἄρ', οἳ πεπρακότες
τὴν τοῦ βίου παρρησίαν καὶ τὴν τρυφὴν
γυναιξὶ δοῦλοι ζῶμεν ἀντ' ἐλευθέρων·
ἔπειτ' ἔχειν προῖκ' οὐχὶ τιμὴν π ά σ χ ο μ ε ν;
πικράν γε καὶ μεστὴν γυναικείας χολῆς·

μέμψαιτ' ἄν τις ἡμᾶς *φάσκομεν* ἀντὶ τοῦ *πάσχομεν* μεταγράφοντας; Ἀλλ' οὐδεὶς μέμψεται τὸ *διαφορῶν* μετακοσμοῦντας εἰς τὸ *διαφέρων* παρὰ τῷ αὐτῷ σελ. 624 « Κλεινίας γοῦν ὁ Πυθαγόρειος . . καὶ τῷ βίῳ καὶ τοῖς ἤθεσι διαφορῶν ». *Τοῦτ' ἐκεῖν' οὑγὼ "λεγον* ὅτι ἄριστοι κυνηγέται ἐπὶ θήραν ἐξελθόντες οὐκ ἄρα πολλάκις τὰ ἐπιπετόμενα θηράσειαν ὡς μικρὰ παριδόντες. Καὶ ὁ Μεινέκιος γὰρ οὕτως ἐκδεδωκὼς ἔχει. Οὗτος δ' ὁ ἀνὴρ οὐ πιθανῶς μοι δοκεῖ τὸν τοῦ Ἀντιφάνους στίχον (Ἀθην. σελ. 11)

συναχρατίσασθαι πῶς ἔχεις μετ' ἐμοῦ ;

μεταρρυθμίσαι εἰς

συναχρατίσασθαι ; πῶς λέγεις ; μετ' ἐμοῦ.

Σὺ δέ μοι ἐνθυμοῦ, ἤν ποτε καὶ δεύτερον παράδειγμα εὕρῃς, ὥστ' εἰ-

πεῖν ὅτι τὸ *συνακρατίσασθαι* κτλ. ταὐτόν ἐστι τῷ *πρὸς τὸ συνακρατίσασθαι πῶς ἔχεις μετ' ἐμοῦ ;* Παρίσταταί σοι δήπου ἐν τῇ μνήμῃ τὸ *πῶς ἔχεις πρὸς τὸ ἐθέλειν ἰέναι ἄκλητος ἐπὶ δεῖπνον* καὶ ἄλλα τοιαῦτα.

Οὐ συγχωρήσομεν δ' αὖθις τῷ αὐτῷ ἀνδρὶ μεταγράψαντι σελ. 557, b *οὐ περιήγετο* ἀντὶ τοῦ *οὐκ ἐπήγετο* ἐν τοῖσδε. « Φίλιππος δὲ ὁ Μακεδὼν οὐ περιήγετο [ τὰ ἀντίγραφα *ἐπήγετο* ] μὲν εἰς τοὺς πολέμους γυναῖκας, ὥσπερ Δαρεῖος . . ὃς περὶ τῶν ὅλων πολεμῶν τριακοσίας ἑξήκοντα περιήγετο παλλακάς, ὡς ἱστορεῖ Δικαίαρχος ». Ποικιλίας χάριν ἐχρήσατο ὁ Ἀθήναιος ἐκεῖ μὲν τῷ *ἐπήγετο*, ἐνταῦθα δὲ τῷ *περιήγετο* εἴτε ἐξ ἑαυτοῦ εἴτε ἐκ τοῦ Δικαιάρχου. Εἰ δὲ βούλει, προσήκει μᾶλλον περὶ τοῦ πολεμικοῦ Φιλίππου εἰπεῖν *ἘΠήγετο* ἢ *οὐκ ἘΠήγετο γυναῖκας*· ὥσπερ ὁ Δαρεῖος ὁ ἐντρυφῶν καὶ πολλῷ τοῦ ἀλκίμου Μακεδόνος ἡττώμενος ΠΕΡΙήγετο· κύκλῳ γὰρ περὶ αὐτὸν γυναῖκες πολλαὶ (ἀκούεις τοῦ Δικαιάρχου ; τξ') ἦσαν καὶ ταὐτά οἱ ἔμελεν ἐν πολέμῳ γε ὄντι· ἀλλὰ γάρ τοι τὸν περὶ ψυχῆς ὥσπερ λαγὼς ἔδραμεν

Ὡς θρέξειε καὶ ἄλλος ὅ τις τοιαῦτά γε ῥέζοι.

Ἔνεστι τοιαύτη τις διαφορὰ τοῦ *ἐπάγεσθαι* καὶ *περιάγεσθαι*, ἀλλ' ὅπως μὴ ληρεῖν δόξομεν ταῦτα διαιροῦντες.

Τὸ ἐν σελ. 21, f τοῦ Ἀθην. « καὶ Τέλεσις δὲ ἢ Τελέστης ὁ ὀρχηστοδιδάσκαλος πολλὰ ἐξεύρηκε σχήματα ἄκρως ταῖς χερσὶ τὰ λεγόμενα δεικνυούσαις » μεταρρυθμιστέον ἴσως ὧδε « . . ἄκραις ταῖς χερσὶ τὰ λεγόμενα δεικνύς ». Παρὰ τὰς καταλήξεις τὰ σφάλματα, ὡς ὁρᾷς, εἴπερ ἔστι σφάλματα. Ὡς καὶ ἐν τῷ κατὰ Τιμάρχου τοῦ Αἰσχίνου § 180 σελ. 173 « παρελθὼν τις τῶν γερόντων, οὓς ἐκεῖνοι καὶ αἰσχύνονται καὶ δεδίασι, καὶ τὴν τῆς ἡλικίας αὐτῶν ἐπωνυ*μίαν* ἀρχὴν μεγίστην εἶναι νομίζουσιν ». Οὐ συγχωρήσουσιν ἆρά γε ἡμῖν ἐπώνυ*μον* μεταγράφουσι καὶ πρὸς τὸ *ἀρχὴν* ὑπάγουσιν ;

Ἀνέγνως δὴ τὸν Σίσυφον τοῦ Ψευδοπλάτωνος ; Οἶμαι, εἴπερ γε τὰ

μικρὰ τετέλεσαι πρότερον, εἰ δὲ μὴ ἀναγνόντι ἀπαντήσεταί σοι ( σελ. 390, Ε ) « Οὐκοῦν εἰ μήπω ἔστιν, οὕτως οὐδὲ γέγονε τὰ μὴ ὄντα;— Οὐ γάρ.—Οὐκοῦν εἰ μήπω μηδὲ γέγονεν, οὔπω οὐδὲ φύσιν ἔχει οὐδεμίαν αὐτῶν ; » Ἢ τὸ *οὐδεμίαν* εἰς *οὐδὲν* μετατρεπτέον ἢ ὡς ἐκπεσὸν μεταξὺ τοῦ *οὐδεμίαν* καὶ τοῦ *αὐτῶν* τὸ *οὐδὲν* ἐπανοιστέον. Ὡσαύτως παρεντίθει μοι φέρων καὶ τὸν διαζευκτικὸν ἢ ἐν τῷδε τῷ δημοσθενείῳ ( Φιλ. Γ΄ 54) « ἀλλ' εἰς τοῦτο ἀφῖχθε μωρίας ἢ παρανοίας ἢ οὐκ ἔχω τί λέγω, . . ὥστε λοιδορίας ἢ φθόνου ἢ σκώμματος, ἧστινος ἂν τύχητε ἕνεκ' αἰτίας ἀνθρώπους . . λέγειν κελεύετε ». Πρὸ τοῦ *ἧστινος* δῆλον ὅτι τὸν ἢ παρεμβαλοῦμεν καὶ τὸ κόμμα ἀπαλείψομεν. Οὐ δοκεῖ σοι ; Τὸν δὲ *ἂν* ἐκ τοῦ πλουταρχείου τοῦδε ( Δημ. Χ ) « Καὶ μέντοι καὶ τὸν Δημοσθένην φασὶν αὐτὸν ὁσάκις ἂν ἀντερῶν αὐτῷ Φωκίων ἀναβαίνοι λέγειν πρὸς τοὺς συνήθεις κτὲ » ἐκβαλοῦμεν, εἰ φίλον ἀνδράσι σοφοῖς τοῖς διακρίνουσι κατὰ χρόνους τὴν διαφορὰν τοῦ ἑλληνισμοῦ. Ἡμεῖς γὰρ τῶν τοιούτων οὐκ ἐξικνούμεθα· πολλοῦ γε καὶ δέομεν.

Ἱκανῶς μοι τούτοις οἴομαι πρὸς σὲ ἐνδεδεῖχθαι ὃ ἠβουλόμην, ὅτι κἂν ἡμεῖς μικρά τινα εὕροιμεν. Εἰ δέ που παρατείνω ἢ πλείονα τοῦ δέοντος λέγω ἢ μὴ πάντα ἐφεξῆς διέρχομαι, ταῦτα σύ γε φίλος ὢν εὖ οἶδ' ὅτι συγγνώσει μοι δι' ἐπιστολῆς πρὸς σὲ γράφοντι ὃ ἂν τυγχάνω ἔχων.

Προσανάγνωθί μοι δὲ τούτοις, εἰ βούλει, καὶ τὴν ἐπιγραφήν, περὶ ἧς ἄλλοτε εἰς Μόναχον ἔγραψά σοι ἐκεῖ τότε ὄντι. Νῦν δ' ἐπαναγνοὺς ὡς οἷόν τε ἀκριβῶς ἔπεμψά τινι εἰς Ἀθήνας τῶν ἡμετέρων καθηγητῶν καὶ ἐκδοθήσεται, ὡς πυνθάνομαι, ἐν τῷ περιοδικῷ τῆς ἐν Ἀθήναις Γερμανικῆς Σχολῆς. Χάριτας δὲ τῷ πρώτῳ ἀναγνόντι καὶ ἐκδόντι προσωμολόγησα, ὅτι αὐτοῦ μάλιστα ἕνεκα ἔμαθον τὰ ἐν αὐτῇ καὶ πολὺ ῥᾷον ἐκ τοῦ λίθου τὰ γράμματα ἐπελεξάμην. Ἃ δὲ περὶ τῆς συντάξεως τῶν λέξεων *σπληνίσκον ὑπογεγραμμένον ἱππέ ( α )* σεσημείωταί μοι καὶ αὐτόθεν δῆλον ὡς ἀληθῆ καὶ ἐκ παραδειγμάτων. Ἀλλὰ τούτων οὐδὲν οἷον τὸ τοῦ Πλουτάρχου ἐν βίῳ Πύρρου Γ΄. σελ.

384 «πολλοὺς δὲ ὀδόντας οὐκ εἶχεν (ὁ Πύρρος); ἀλλ' ἓν ὀστέον συνεχὲς ἦν ἄνωθεν οἷον λεπταῖς ἀμυχαῖς *τὰς διαφυὰς ὑπογεγραμμένον* τῶν ὀδόντων»· ὥσπερ οὖν συντάττεται ἑλληνιστὶ *ὀστέον ὑπογέγραπται τὰς διαφυὰς*· οὕτω καὶ *σπληνίσκον ὑπογέγραπται ἱππέα*.*

Καιρὸς δὲ ἤδη σπεύδειν ἐπὶ τὸ τέλος ἀφικέσθαι μή μοι ταύτην ὑστερήσασαν τῆς ὥρας ἐκκλείσωσιν εἰς τὴν ἀκολουθοῦσαν ἑβδομάδα προθυμουμένῳ νῦν φθάσαι. Οὐ μὴν ἀλλ' ἀποχρήσομαι τῷ ὀλίγῳ μεταξὺ χρόνῳ βουλόμενος ἡροδότειον ἓν ἔτι κοινῇ μετὰ σοῦ ἐπισκέψασθαι καὶ ὑφηγήσασθαι ἥν πως βέλτιον ἑρμηνεύσωμεν. Ἐν τῇ ὀγδόῃ τῇ ἐπιγραφομένῃ Οὐρανίᾳ ἐπὶ τέλει που (144) τάδε ἐστὶν ἐν τῷ γενναίῳ τῶν Ἀθηναίων πρὸς τοὺς ἀπὸ Σπάρτης ἀγγέλους λόγῳ. «Τὸ μὲν δεῖσαι Λακεδαιμονίους μὴ ὁμολογήσωμεν τῷ βαρβάρῳ κάρτα ἀνθρωπήιον ἦν· ἀτὰρ αἰσχρῶς γε οἴκατε ἐξεπιστάμενοι τὸ Ἀθηναίων φρόνημα ἀρρωδῆσαι, ὅτι οὔτε χρυσός ἐστι γῆς οὐδαμόθι τοσοῦτος οὔτε χώρη κάλλεϊ καὶ ἀρετῇ μέγα ὑπερφέρουσα, τὰ ἡμεῖς δεξάμενοι ἐθέλοιμεν ἂν μηδίσαντες καταδουλῶσαι τὴν Ἑλλάδα». Μέμνημαι, ἐν Ἀθήναις πέρυσιν ἐντυχὼν τῶν εὐδοκίμων τινὶ τοῦ Ἡροδότου ἐκδόσεων, ὅτι τὸ *αἰσχρῶς* πρὸς τὸ *ἀρρωδῆσαι* ὑπάγεται. Εἰ δὲ καὶ πάντες οὕτω συντάττουσι, σκόπει καὶ σύ· αὐτὸς γὰρ οὐκ εὐπορῶ ἐνθάδε. Βελτίονα δέ τινα τούτοις, εἰ μὴ ἀδικῶ, ὑφηγήσομαι ἑρμηνείαν· ἡγοῦμαι γὰρ μᾶλλον χρῆναι τὸ *αἰσχρῶς* ἀποδιδόναι τῷ *ἐξεπιστάμενοι*. Ἔστι δὲ *αἰσχρῶς ἐξεπίστασθαι* οἷόν τι *οὐκ ἐξεπίστασθαι,* καθάπερ δὲ γραφεὺς τὸν λόγον ποικίλας πρέποντί γε ἄνθει τὸ *αἰσχρῶς ἐξεπιστάμενοι* ἀντὶ τοῦ *οὐκ ἐξεπιστάμενοι* ἀπέγραψεν ὁ Ἡρόδοτος. *Ἐοίκατε,* φησίν, ὦ *Λακεδαιμόνιοι ὀρρωδῆσαι* [ἔνεστί τις, οἶμαι, ἐν τούτοις καὶ τοῖς ἑπομένοις Ἀττικὴ εἰρωνία] *αἰσχρῶς γε ἐξεπιστάμενοι τὸ φρόνημα*

---

* Ἐγέγραπτό μοι τὰ ἀνωτέρω, ὅτε πρὸ ὀλίγων ἡμερῶν π ρ ό φ ρ ω ν ἔπεμψέ μοι ὁ Ulrich Koehler τὸ τεῦχος, ἐν ᾧ δεύτερος αὐτὸς μετὰ τὸν Κάρολον Κούρτιον περὶ ταύτης τῆς ἐπιγραφῆς πραγματεύεται ἀνατυπῶν τινα αὐτῆς (ἔτος Ζ', σελ. 367—376). Ἐχρήσατο δὲ τῇ ἐμῇ ἀναγνώσει καὶ τὰς διαφορὰς ἐπεσημήνατο· ὃ δὲ περὶ τοῦ σ π λ η ν ί σ κ ο ν—ἱ π π έ α ἐσημειωσάμην φανερὸν ὂν οὐκ ἐδεῖτο παραλαβεῖν.

*τῶν Ἀθηναίων ( τόδε ) ὅτι οὔτε χρυσός ἐστι γῆς οὐδαμοῦ τοσοῦτος* κτλ. Οὕτω *κακῶς εἰδότες ὅτι* λέγουσιν οἱ Ἕλληνες ἀντὶ τοῦ *οὐκ εἰδότες ὅτι*. Μέμνημαι παρ' Ἰσοκράτει τοῦτο ἀναγνοὺς ἐν τῷ περὶ Εἰρήνης ἴσως· ἄκουε δὲ καὶ τοῦ μανικοῦ Εὐθύφρονος ἀποκρινομένου ( Πλ. Εὐθ. 4, Ε ) « *κακῶς εἰδότες*, ὦ Σώκρατες, τὸ θεῖον ὡς ἔχει τοῦ ὁσίου τε πέρι καὶ τοῦ ἀνοσίου »· *ἀγνοοῦντες, οὐκ εἰδότες* βούλεται εἰπεῖν, ἀλλ' ὥσπερ διατεινόμενος καὶ ἐπιβοῶν *κακῶς εἰδότες* ὁ μανικὸς οὗτος παρίσταται λέγων. Γραφικῶς γε, ὦ θεῖε Πλάτων· ὡς τῶν λόγων καὶ τῆς διανοίας ὑμῶν τῶν Ἑλλήνων καὶ ἡμεῖς οἱ Ἕλληνες φανείημέν ποτε ἄξιοι διάδοχοι! Οὐκ ἐπιγελάσει μοι τοιαῦτα εὐχομένῳ, ὦ φίλε Ἀλφρέδε. Τοὺς δ' ἀγαθοὺς ἄνδρας τοὺς ὑπὲρ τοῦ Ἑλληνισμοῦ προθυμουμένους εὖ, ἴσθι ὅτι, τιμῶμεν καὶ εὐεργέτας εἰς ἀεὶ ἀναγράφομεν καὶ χάριτας αὐτοῖς διὰ παντὸς τοῦ αἰῶνος ὁμολογοῦμεν, ὅτι τὰ τῶν προγόνων συγγράμματα, ὅτε ἡμεῖς ἐδυστυχοῦμεν, ὡς παρακαταθήκην λαβόντες ἐτήρησαν καὶ οὐ μόνον αὐτοὶ ἀπονίνανται τούτων, ἀλλὰ καὶ ἡμῖν πολλαχῶς ὠφέλιμα ἀπέδειξαν. Οὐκ ἂν οὕτως ἐκκαθαρθέντα ἀνεγιγνώσκομεν καὶ συνίεμεν εἰ μὴ δι' αὐτούς. Ὁμολογοῦμέν γε τοῦτο καὶ εὐγνώμονές ἐσμεν. Καὶ πάλαι καὶ νῦν

Ἕλληνές εἰσιν ἄνδρες οὐκ ἀγνώμονες.

Δοῖεν ἡμῖν οἱ θεοὶ ὄλβον, ὥς ποτε ἐνδειξώμεθα οἵαν ἔχομεν εὐγνωμοσύνην οὐ μόνον λόγῳ ἀλλὰ καὶ ἔργῳ.

Ἐγέγραπτό μοι πάντα τὰ ἀνωτέρω καὶ πέρας εἰλήφει, ὅτι τὴν τοῦ Παγώνδου παρακέλευσιν ( Θουκ. Δ', 92 ) τυγχάνων μετὰ τῶν μαθητῶν ἄρτι διεξιὼν ἐπέστησά τινι τὸν νοῦν, ὃ ὕστατον παραχορηγήσομαί σοι. Τὸ ἀνδρεῖον καὶ φιλότιμον καὶ φιλελεύθερον τοῦ βοιωτάρχου ἔκδηλόν ἐστιν· ὡς μεγάλα καὶ Ἑλληνικὰ καὶ ἐνθουσιαστικὰ καὶ οἷά περ Σθενελαΐδας φθέγγεται καὶ ἀξίως γε προγόνου τοῦ Ἐπαμεινώνδου, ἃ δὲ λέγει § 7 « τούς τε νεωτέρους, πατέρων τῶν τότε ἀγαθῶν *γενομένων* παῖδας, πειρᾶσθαι μὴ αἰσχῦναι τὰς προσηκούσας ἀρετάς » ἐμοὶ μὲν δοκεῖ τοιάδε ὁ Παγώνδας παρακελεύεσθαι: οἵ τε νεώτεροι πατέρων τῶν τότε ἀγαθῶν παῖδες γενόμενοι πειράσθων κτλ., ὥστε ἡδομένῳ μοι μετέγραφον ἂν οἱ φιλόλογοι *γενομένους*, σοὶ δέ, ὦ γενναῖε

Ἀλφρέδε, πῶς δοκεῖ; Οὐκ ἂν σοι ὁ πατὴρ ἐν τοῖς φιλομουσότατος ὢν παραινέσειεν· ἴθι, ὦ τέκνον, ἀεὶ ἀρίστευε καὶ *γίγνου παῖς ἐμός ;*

Αὕτη σοι, ὦ εὐγενὲς φίλε, παρ' ἐμοῦ σήμερον παράκειται τράπεζα χαριζομένου *παρεόντων*. Καὶ σὺ μὲν οὐ μέμψει τὸ λιτὸν καὶ ἰσχνὸν αὐτῆς· εὐγνώμων γὰρ εἶ ἁπλοῦς τε αὖ καὶ ἐλευθέριος καὶ φύσει καὶ παρὰ τῶν πατέρων παραλαβών, ὧν τὸ φιλελεύθερον πάντες ἄνθρωποι τεθαυμάκασιν. Εἰ δὲ καὶ οἱ ἐμοὶ διδάσκαλοι, οὓς μάλιστ' αἰδοῦμαι καὶ πλεῖστον τιμῶ ἐπαινέσονταί με οὕτω σε ἑστιῶντα· εἰ δὲ μή, ἀλλ' οὖν τῆς γε προθυμίας ἕνεκα ἵλεῳ εἴησαν καὶ ἀνακηρυττόντων ἡμᾶς.

Οὕτω νικήσαιμί τ' ἐγὼ καὶ νομιζοίμην σοφός·

ὡς αὐτοὺς εὔνους ἄνδρας ἡγοῦμαι καὶ εὐεργέτας νομίζω.

*Ἐν Σάμῳ τῇ 2ᾳ Δεκεμβρίου 1882.*

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΦΑΛΤΑΪΤΣ

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΦΑΛΤΑΪΤΣ

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΦΑΛΤΑΪΤΣ